**ἐπισυνέμπτωσις**

Evst. *Il.* XXIII 116, p. 696. 4-11 Van der Valk [Ἰστέον δὲ ὅτι τε τὸ ἄναντα ἐκ τοῦ ἀνάντεα δοκεῖ συγκεκόφθαι. ὡς γὰρ ἐξάντης ἀρσενικὸν καὶ ἔξαντες οὐδέτερον, οὗ πληθυντικὸν ἐξάντεα, οὕτω καὶ ἀνάντης ἄναντες ἀνάντεα, ὅθεν τὸ ἄναντα. τὸ δ' αὐτὸ καὶ ἐπὶ τοῦ κάταντα καὶ πάραντα πρὸς ὁμοιότητα τοῦ ἐναντία ἔναντα, καὶ ὅτι ἢ ἓξ οὐσῶν κακιῶν τοῦ ἔπους, ὡς ἑτέρωθι σαφῶς δεδήλωται, κακίζεται καὶ τὸ «πολλὰ δ' ἄναντα» καὶ ἑξῆς. καὶ λέγεται ἡ τοιαύτη ἐπικὴ κακία, ἐπισυνέμπτωσις οὖσα λέξεων, ὁμοιοκαταληξία καὶ τῶν αὐτῶν συμφώνων ἐπαλληλία.]

Anon. Ambr. 214. 23 sq. τῶν δὲ μέτρων κακίαι εἰσὶ πέντε· χασμῳδία, ἐπισυνέμπτωσις, ὀλιγομερία, <πολυμερία,> σπονδειακὴ διάθεσις ... 32 sqq. ἐπισυνέμπτωσις δέ ἐστιν, οἷον· ([Hom. *Il.* XXIII 116)

πολλὰ δ' ἄναντα κάταντα πάραντά τε δόχμι' ἐπῆλθον.

εἴρηται δὲ ἐπισυνεμπτωσις ἀπὸ τοῦ συνεμπεσεῖν ἐν τῷ στίχῳ τὴν τῶν λέξεων ὁμοιότητα. [*E.C.* - *V.V.*]